UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

Ex Libro Dvodecimo Historiae.

**urn:nbn:de:hbz:466:1-14162**

Visual Library

putque ejus ſale conditum Conſtantinopolim perlatum eſt. Præter has calamitates, Iſaurorum gens varias clades intulit Romanis. Nam ad Solis quidem Ortum Ciliciam percurſarunt, & finitimam Syriam, non eam ſolum quæ Cœle dicitur, ſed & eam quæ ad Perſas usq; pertingit. Ad Japigem autem & Thraſciam ventos, Pamphyliam invaſerunt, & Lyciam populati ſunt. Cyprum quoq; inſulam vaſtarunt: Lycaonas item ac Piſidas in ſervitutem abduxerunt. Cumq; Cappadocas ſedibus ſuis expuliſſent & captivos egiſſent, ad Pontum usque progreſſi ſunt & atrociùs quàm reliqui Barbari in captivos ſævierunt.

A ἐπελθόντες, αὐτὸν ἀναιροῦσι· καὶ ἡ κεφαλὴ ταριχευθεῖσα, εἰς κωνσταντινούπολιν ἐκομίσθη. χωρὶς δὲ τῶν εἰρημένων κακῶν, καὶ τὸ ἰσαύρων γένος, παντοδαποὺς ἐπήνεγκεν ὀλέθρους, τὴν μὲν πρὸς ἥλιον ἀνίσχοντα, τήν τε κιλικίαν καταδραμόν, καὶ τὴν ὅμορον συρίαν. οὐ τὴν κοίλην μόνον, ἀλλὰ καὶ τὴν ἄλλην μέχρι περσῶν αὐτῶν ἀφικομένην. κατὰ δὲ ἰάπυγα ἄνεμον καὶ θρασκίαν, παμφυλίαν τε ἐπῆλθον, καὶ λυκίαν διέφθειρον. κύπρον τε τὴν νῆσον καταστρεψάμενοι, λυκάονάς τε καὶ πισίδας ἠχμαλώτισαν· καὶ καππαδόκας τὸ πλεῖστον ἀναστήσαντες, ἄχρι καὶ ἐπὶ τὸν πόντον διεκινδύνευσαν.
B καὶ τῶν ἄλλων βαρβάρων τὰ χείριστα τοὺς ἁλισκομένους οὗτοι διέθεντο.

---

*EX LIBRO DUODECIMO HISTORIÆ.*

1. PHILOSTORGIUS cùm ob alia multa Stiliconem graviter perſtringit, tùm affectatæ tyrannidis reum fuiſſe ſcribit. Refert etiam quomodo Olympius quidam Magiſter, gladium qui adverſus Imperatorem ſtrictus erat in palatio, manu ſua corripiens, ſeipſum quidem læſerit, Imperatorem verò ſervarit, eiq; ad occidendum Stiliconem qui tunc Ravennæ morabatur, operam ac miniſterium ſuum commodaverit. Alii hunc non Olympium, ſed Olympiodorum nominant: Nec Imperatori ſuppetias eum tuliſſe dicunt, ſed Stiliconi bene de ſe merito inſidias ſtruxiſſe, eumque affectatæ tyrannidis falſò accuſaſſe. Nec Magiſtrum eo tempore adhuc fuiſſe ſcribunt, ſed poſt injuſtam Stiliconis cædem, eam dignitatem præmii loco accepiſſe. Eundem tamen haud multo poſt fuſtibus interfectum, nefariæ cædis pœnas pependiſſe Stiliconi.

2. Iisdem temporibus Alaricus, natione Gothus, circa ſuperiores Thraciæ partes collecto exercitu, in Achaiam irrupit, & Athenas cepit: Macedonas quoque & finitimos Dalmatas populatus eſt. Illyricum præterea invaſit, & Alpes transgreſſus, in Italiam intravit, â Stilicone, qui tunc adhuc ſuperſtes erat, evocatus, ut ait Philoſtorgius, qui quidem Alpium etiam clauſtra ei reſeravit. Omne enim inſidiarum genus adverſus Imperatorem ſtruxiſſe ait Stiliconem, nec ob id ſaltem reveritum eſſe quòd generum illum haberet, data illi in matrimonium filia; ſed potionem ei præbuiſſe, qua procreandæ

---

ΕΚ ΤΗΣ ΔΩΔΕΚΑ ΤΗΣ ἱστορίας.

1. ΟΤι φιλοστόργιος, καὶ ἐν ἄλλοις πολλοῖς στελίχωνος καταστρέχων, καὶ τυραννίδος ἔνοχον γράφει. καὶ ὡς ὀλύμπιος τις τῶν μαγίστρων, φερόμενον κατὰ τοῦ βασιλέως ἐν τῷ παλατίῳ τὸ ξίφος ἀντιλαβὼν τῇ χειρί, ἑαυτὸν μὲν ἐλυμήνατο, τὸν βασιλέα δὲ διέσωσε.
C καὶ συνεργὸς αὐτοῦ κατέστη πρὸς τὴν ἀναίρεσιν στελίχωνος, κατὰ τὴν ῥάβενναν διατρίβοντος. ἄλλοι δὲ οὐκ ὀλύμπιον, ἀλλ᾽ ὀλυμπιόδωρον φασίν. οὐδ᾽ ἐπαμύναι τῷ βασιλεῖ, ἀλλ᾽ ἐπιβουλεῦσαι τῷ εὐεργέτῃ στελίχωνι, καὶ εἰς τυραννίδα συκοφαντῆσαι αὐτόν· καὶ οὐδὲ μάγιστρον τηνικαῦτα εἶναι, ἀλλ᾽ ὕστερον μετὰ τὸν ἄδικον τοῦ στελίχωνος φόνον, ἔπαθλον τὴν ἀξίαν λαβεῖν. ἀλλ᾽ οὐκ εἰς μακρὰν καὶ αὐτὸν ῥοπάλοις ἀναιρεθέντα, τῆς μιαιφονίας τὴν δίκην ἀποτίσαι τῷ στελίχωνι.

D 2. Ὅτι κατὰ τοὺς προειρημένους χρόνους ἀλάριχος γότθος τὸ γένος, περὶ τὰ τῆς θρᾴκης ἄνω μέρη δύναμιν ἀθροίσας, ἐπῆλθε τῇ ἑλλάδι, καὶ τὰς ἀθήνας εἷλε, καὶ μακεδόνας, καὶ τοὺς προσεχεῖς δαλμάτας ἐλῄσατο. ἐπῆλθε δὲ καὶ τὴν ἰλλυρίδα, καὶ τὰς ἄλπεις διαβὰς ταῖς ἰταλίαις ἐνέβαλε· στελίχωνι δὲ, ὡς οὗτος λέγει, ζῶντι μετάπεμπτος ἦν, ὃς αὐτῷ καὶ τὰς τῶν ἄλπεων πύλας διήνοιξε. καὶ γὰρ ἐπιβουλὰς πάσας στελίχωνα κατὰ βασιλέως παλαμᾶσθαι, καὶ μηδ᾽ ὅτι γαμβρὸν αὐτὸν εἶχεν ἐπὶ θυγατρὶ δυσωπεῖσθαι, ἀλλὰ καὶ φάρμακον αὐτῷ

A ἀγωνίας ἐγκεράσασθαι. ἐλελήθει δὲ ἄρα ἑαυτόν, ἐν τῷ σπουδάζειν τὸν υἱὸν εὐχέριον ἀνακηρύξειν παρανόμως βασιλέα, τὸν ἀπόγονον τῆς κατὰ διαδοχὴν καὶ θεσμὸν βασιλείας προεκθερίζων καὶ ζημιούμενος. οὕτω δὲ καταφωρον καὶ ἀδεᾶ τὴν τυραννίδα προενεγκεῖν τὸν στελίχωνα λέγει, ὡς καὶ νόμισμα, μορφῆς λειπούσης μόνης, κόψασθαι.

3. Ὁ μὲν στελίχων ἀνῄρημένος, οἱ δὲ συνόντες βάρβαροι τὸν ἐκείνου παῖδα λαβόντες, τὴν ταχίστην ᾤχοντο· καὶ τῇ ῥώμῃ πλησιάσαντες, τὸν μὲν ἐφεῖσαν εἴς τινα τῶν ἀσύλων ἱερῶν καταφυγεῖν· οἱ δὲ τὰ τῆς πόλεως πέριξ B ἐπόρθουν, τῶν μὲν τῷ στελίχωνι τιμωροῦντες, τῶν δὲ λιμῷ πιεζόμενοι. ἐπεὶ δὲ παρὰ ὀνωρίου γράμμα, κρεῖττον τῆς ἀσυλίας γενόμενον, ἀναιρεῖ τὸν εὐχέριον, διὰ ταῦτα συμμίξαντες οἱ βάρβαροι ἀλαρίχῳ, εἰς τὸν πρὸς ῥωμαίους αὐτὸν ἐξορμῶσι πόλεμον· ὁ δὲ θᾶττον καταλαμβάνει τὸν πόρτον· μέγιστον δὲ ἐστὶ νεώριον ῥώμης, λιμέσι τρισὶ περιγραφόμενος, καὶ εἰς πόλεως μικρᾶς παρατεινόμενος μέγεθος. ἐν τούτῳ δὲ ὁ δημόσιος ἅπας σῖτος κατὰ παλαιὸν ἔθος ἐταμιεύετο· ἑλὼν δὲ ῥᾷον τὸν πόρτον, καὶ τῇ σι- C τοδείᾳ, ἢ ταῖς ἄλλαις μηχαναῖς πολιορκήσας τὴν ῥώμην κατὰ κράτος αἱρεῖ· καὶ ψηφισαμένων τῶν ῥωμαίων· τοῦτο γὰρ αὐτοῖς ἀλάριχος ἐνεδίδου, ἄτταλον αὐτοῖς ἀναγορεύει βασιλέα. ἐστὶ δὲ ἴων μὲν ἦν τὸ γένος, ἕλλην δὲ τὴν δόξαν, τῆς αὐτῆς δὲ πόλεως ἔπαρχος. ἐστὶ δὲ λοιπὸν μετὰ τὴν ἀναγόρευσιν, τὸ λείψανον τῶν ῥωμαίων, ὅπερ ὁ λιμὸς αὐτοὺς καὶ ἡ ἀλληλοφαγία ὑπελείπετο, τροφὴν αὐτοῖς κομίζειν ἀπὸ τοῦ πόρτου ἐφίησιν. εἶτα τὸν ἄτταλον λαβών, καὶ στρατηγοῦ σχῆμα πληρῶν αὐτῷ, ἐπὶ τὴν ῥάβενναν καθ' ὀνω- D ρίου στρατεύει· καὶ κελεύει ἄτταλος τὸν ὀνώριον, τὸν ἰδιώτην ἀνθελέσθαι βίον, καὶ τῶν τοῦ σώματος ἀκρωτηρίων τῇ περιτομῇ τὴν τοῦ ὅλου σωτηρίαν ὠνήσασθαι. σάρος δέ, ὃς μετὰ στελίχωνα τὴν στρατηγικὴν ἀρχὴν ὀνωρίου δεδωκότος εἶχε, συμβαλὼν ἀλαρίχῳ, κρατεῖ τῇ μάχῃ, καὶ τῆς ῥαβέννης ἀποδιώκει. ὁ δὲ τὸν πόρτον καταλαβών, ἀποδύει μὲν τῆς βασιλείας τὸν ἄτταλον· ὡς μὲν φασί,

A sobolis facultas adimeretur, neq; illud animadvertit, se dum Eucherium filiũ Imperatorem contra jus fasq; renunciare studeret, nepotem cui successionis jure Imperium debebatur, ante adultum florem succidere ac perdere. Porro Stiliconem adeo manifeste ac sine ullo metu tyrannidem exercuisse scribit, ut etiam nummos percuteret, in quibus præter ipsi⁹ effigiẽ nihil deerat.

3. Interfecto Stilicone, Barbari qui unà cum illo erant, assumpto ejus filio statim abscesserunt. Cumque Romam appropinquassent, huic quidem permiserunt, ut in templum quoddam, B quod jure Asyli fruebatur, confugeret. Ipsi verò cuncta quæ circa urbem erant vastarunt: tum ut Stiliconem ulciscerentur, tum quòd fame pressi erant. Ubi verò litteræ ab Honorio missæ jure Asyli potentiores, Eucherium morte mulctarunt, post hæc Barbari Alarico juncti, eum ad expugnandam urbem Romam incitarunt. Hic verò confestim Portum occupavit. Id autem est maximum navale urbis Romæ, tribus portubus constans, & in parvæ urbis magnitudinem extensum. Illic etiam annona publica juxta veterem consuetudinem erat recondita. Cùm igitur Alaricus Portum levi negotio occupas- C set, urbem Romam tum annonæ penuriâ, tum reliquis machinamentis expugnavit. Et Romanis decernentibus: Id enim illis Alaricus permiserat: Attalum Imperatorem renuntiavit: Ortus hic erat ek minore Asia: religione quidem paganus, dignitate verò Præfectus urbis Romæ. Post nuncupationem Imperatoris Attali, Alaricus permisit deinceps reliquiis populi Romani, his scilicet quos fames & humanorum corporum comestio reliquos fecerat, ut annonam sibi ex portu conveherent. Assumpto deinde Attalo, Magistri militum munere eidem fungens, Raven- D nam adversus Honorum cum exercitu proficiscitur. Inter hæc Attalus mandavit Honorio, ut privatam potius vitam eligeret, & extremorum membrorum abscissione totius corporis salutem redimeret. Sarus verò, cui post Stiliconis necem Honorius magisterium rei militaris contulerat, initio adversus Alaricum prælio, eum superavit, & ab urbe Ravenna longius fugavit. Tum verò Alaricus occupato portu, Attalum Imperio exuit: sive quòd accusatus fuerat,

quasi malevolo animo esset erga Alaricum: sive ut alii dicunt, eo quod Alaricus in mente habebat, fœdus cum Honorio inire, ac prius è medio tollendum esse ducebat eum qui impedimento esse videbatur. Post hæc Alaricus Ravennam reversus, cùm fœdus obtulisset Honorio, à supra memorato Saro repulsus est, eum qui audaciæ suæ pœnas dare debuisset, indignum esse affirmante qui inter amicos numeraretur. Iratus ob hæc Alaricus, anno post primam irruptionem in Portum urbis Romæ, tanquam hostis infestis signis Romam versùs contendit. Exinde verò tantæ gloriæ magnitudinem ac potentiæ famam externus ignis, & hostilis gladius, & Barbarica captivitas, quasi sortitò inter se diviserunt. Dum urbs Roma in ruderibus esset, Alaricus Campaniam deprædatus est. Atque illic morbo correptus occubuit.

4. Uxoris autem ejus frater Adaulfus ei successit. Qui Placidiam Honorii sororem, quam Alaricus captivam ab urbe Roma secum abduxerat, sponsam accepit; repudiata priore uxore, quæ ex Sarmatarum gente erat oriunda. Ac tunc demum testaceo generi copulatum esse, ait Philostorgius, eum qui ex ferrea stirpe erat oriundus. Neq; tunc solum, sed & rursus tunc cùm Adaulfus matrimonii jure Placidiam sibi sociavit, tunc enim testacea natura conjuncta est ferreæ. Sed quoniam Scriptura dicit, non diu permansuram esse eam conjunctionem, idcirco Constantius qui Placidiam adamabat, hanc spem animo conceperat, se si Adaulfum bello superasset, Placidiam sibi sponsam accepturum esse. Nec multo post Adaulfus, cùm multa gravia facinora iracundiâ ipsum impellente perpetrasset, à quodam domestico suo interficitur. Exinde Barbari fœdus cum Honorio percusserunt, & Placidiam sororem atque Attalum Imperatori Honorio tradiderunt, cùm priùs ipsi annonas ab Imperatore, & partem Galliæ ad agros excolendos accepissent.

5. Post hæc autem Roma à gravissimis malis paululùm respirans, incolis frequentari cœpit. Et Imperator cùm eò advenisset, manu simul & lingua ædificationem urbis comprobavit. Cumq; supra tribunal ascendisset, ad primum ejus gradum transire Attalũ jussit. Post hæc dextræ man⁹ duos digitos ei absci-

A μὴ δύνειν εἶναι διαβληθέντα· (4) ἢ δ' ὅτι σπονδὰς διενοεῖτο πρὸς Ὁνώριον θέσθαι, καὶ τὸ ἐκεῖνον ἐμποδὼν ἑστάναι, δέον ἡγεῖτο προεκσκευάσασθαι. μετὰ τοῦτο πρὸς ῥάβενναν ὁ ἀλάριχος ἐπανελθὼν, καὶ σπονδὰς προτείνων, ὑπὸ τοῦ προειρημένου διεκρούσθη σάρου, φάμενου τὸν δίκας ὀφείλοντα τῶν τολμηθέντων, μὴ ἂν ἄξιον εἶναι φίλοις συντάττεσθαι. ἐντεῦθεν ἀλάριχος ὀργισθεὶς μετὰ ἐνιαυτὸν τῆς προτέρας ἐπὶ τὸν πόρτον ἐφόδου, ὡς πολέμιον ἀπελαύνει τῇ ῥώμῃ. καὶ τὸ ἐντεῦθεν τῆς τοσαύτης δόξης τὸ μέγεθος, καὶ τὸ τῆς δυνάμεως περιώνυμον, B ἀλλόφυλον πῦρ καὶ ξίφος πολέμιον, καὶ αἰχμαλωσία κατεμερίζετο βάρβαρος. ἐν ἐρειπίοις δὲ τῆς πόλεως κειμένης, ἀλάριχος τὰ κατὰ καμπανίαν ἐληΐζετο, κἀκεῖ νόσῳ φθείρεται.

4. Ὁ δὲ τῆς αὐτοῦ γυναικὸς ἀδελφός, . . .

*Desunt hic duæ lineæ.*

βαρβαρικοῦ γὰρ γένους τοῦ σαυρομάτων χρηματίζειν αὐτὴν καὶ συναφθῆναι τότε τῷ ὀστρακίνῳ γένει τὸν ἐκ σιδήρου τὴν γένεσιν ἔχοντα· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἡνίκα πάλιν C ἀδαοῦλφος γαμικαῖς ὁμιλίαις τῇ πλακιδίᾳ συνείπετο, τὴν γὰρ ὀστρακίνην φύσιν . . . .

*Desunt hic novem lineæ.*

ἐλπίδας τρέφων, ὡς αὐτὸς καταπολεμήσας ἀδαοῦλφον, τὴν πλακιδίαν νυμφεύσαιτο. οὐ πολὺ δὲ τὸ μέσον καὶ πολλὰ δραματουργήσας, ἐξ ὀργῆς ἀδαοῦλφος ὑπό τινος τῶν οἰκείων ἀποσφάττεται. ἐκ τούτου τὸ βάρβαρον πρὸς Ὁνώριον σπένδεται, καὶ τὴν οἰκείαν ἀδελφὴν, καὶ τὸν ἄτταλον τῷ βασιλεῖ παρατίθενται αὐτοὶ, σιτήσεσί τε δεξιωθέντες, καὶ μοῖ- D ραν τινὰ τῆς τῶν γαλατῶν χώρας εἰς γεωργίαν ἀποκληρωσάμενοι.

5. Μετὰ ταῦτα δὲ καὶ ἡ ῥώμη τῶν πολλῶν κακῶν ἀναφέρουσα συνοικίζεται· καὶ ὁ βασιλεὺς αὐτῇ παραγεγονὼς, χειρὶ καὶ γλώττῃ τὸν συνοικισμὸν ἐπεκρότει. ὑπὲρ δὲ βήματος ἀναβὰς, ὃ τὴν πρώτην αὐτοῦ βαθμίδα τὸν ἄτταλον διαβαίνειν ἐπέταξε. . . . .

*Desunt hic duæ lineæ.*

δεξιᾶς χειρὸς ἀπέτεμε τοὺς δύο δακτύλους ὧν ὁ μὲν ἀντίχειρ.

ὁ δὲ λιχανὸς ἔχει τὴν κλῆσιν· καὶ εἰς Λίπαρα τὴν νῆσον τοῦτο φυγαδεύει, μηδενὸς ἄλλου κακοῦ πρὸς πεῖραν καταστήσας, ἀλλὰ καὶ τὰς εἰς τὸν βίον χρείας παρασχόμενος.

6. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους Ἰωβιανός τε ἐπανέστη, εἰς φθορὰν ἀπέσβη. καὶ Σεβαστιανὸς ἀδελφὸς αὐτοῦ τοῖς ἴσοις ἐποφθαλμήσας, τὴν ἴσην ἔδωκε δίκην. ὁ δ' Ἡρακλειανὸς μιμησάμενος τούτους, καὶ πλέω τὸν τῆς τύχης γέλω ἐπιβάς, ἀκλεεστέραν ἔσχε τὴν καταστροφήν, τῆς θείας ἐμφανῶς ἐπικηρυττούσης. οὐδὲ ἀκόσμητον ἐᾷ, οὐδὲ χαίρει τοῖς τυραννοῦσιν· ἀλλ' οἷς ὁ κατὰ θεσμὸν βασιλεὺς ἁρμόζει, τούτῳ καὶ αὐτὴ συμπαραστάτις ἐστί.

7. Ὅτι τελευτήσαντος Ἀρκαδίου, διάδοχος τῆς ἑῴας ἀρχῆς κομιδῇ νέος ὢν Θεοδόσιος ὁ παῖς, ἀναδείκνυται· συνῆν δ' αὐτῷ καὶ Πουλχερία ἡ ἀδελφή, τὰς βασιλικὰς σημειώσεις ὑπηρετουμένη καὶ διευθύνουσα.

8. Ὅτι Θεοδοσίου τῆς τῶν μειρακίων ἡλικίας ἐπιβεβηκότος, καὶ τοῦ μηνὸς Ἰουλίου εἰς ἐννέα ἐπὶ δεκάτην διαβαίνοντος, περὶ ὀγδόην τῆς ἡμέρας ὥραν, ὁ ἥλιος οὕτω βαθέως ἐκλείπει, ὡς καὶ ἀστέρας ἀναλάμψαι· καὶ αὐχμὸς οὕτω τῷ πάθει συνείπετο, ὡς πολλῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων ἀσυνήθη φθορὰν πανταχοῦ φέρεσθαι. ἐκλείποντος δὲ τοῦ ἡλίου, φέγγος τι κατὰ τὸν οὐρανὸν συνανεφάνη, κώνου σχῆμα παραδυόμενον, ὅ τινες ἐξ ἀμαθίας ἀστέρα κομήτην ἐκάλουν. καὶ γὰρ ὧν ἐκεῖνος ἐδείκνυ, οὐδὲν ἦν κομήτας παράσημον. οὔτε γὰρ τὸ φέγγος εἰς κόμην ἐπέβαινεν, οὔτε ἀστέρι ὅλως ἐῴκει· ἀλλ' οἷον λύχνου τις μεγάλη φλὸξ ὑπῆρχε καθ' ἑαυτὴν ὁρωμένη, μηδενὸς ἀστέρος θρυαλλίδος αὐτῷ τινος μορφὴν ὑπερέχοντος· ἀλλὰ γὰρ καὶ τῇ κινήσει παρήλλαττε. καὶ γὰρ κινηθεὶς ὅθεν ὁ ἥλιος κατὰ ἰσημερίαν ἀνίσχει, ἐκεῖθεν τὸν κατὰ τὴν οὐρὰν τῆς ἄρκτου τεταγμένον ἔσχατον ἀστέρα ὑπερενεγκὼν ἠρέμα προὔβαινε πορευόμενος ἐπὶ δυσμάς, ἐπειδὴ διεμέτρει τὸν οὐρανόν, ἀφανὴς ἦν, πλείους τεσσάρων μηνῶν ἐξανυσθείσης αὐτῷ τῆς πορείας. ἡ δὲ κορυφὴ τοῦ φέγγους, νῦν μὲν εἰς μῆκος μέγα ὠξύνετο, ὡς ἐκβαίνειν τοὺς τοῦ κώνου λόγους· νῦν δὲ πρὸς τὸ ἐκείνου μέτρον συνεστέλλετο. καὶ ἄλλα δὲ παρεῖχε τερατώδη θεάματα, δι' ὧν τὰ τ

A ci abscidit, quorum alter quidem pollex, alter verò index vocatur. Eumque in insulam Liparam relegavit, nullo alio supplicio eum afficiens, immo cuncta ad vitam necessaria ei subministrans.

6. Per idem tempus Jovianus adversus Imperatorem rebellavit, ac brevi oppressus est. Sebastianus quoque ejus frater, cùm paria affectasset, pares etiam pœnas persolvit. Heraclianus verò horum vesaniam imitatus, & ad majus adhuc fortunæ ludibrium evectus, illustriorem exitum sortitus est: divina providentia aperte proclamante, nihil

B se inordinatum relinquere, nec tyrannis delectari. Sed qui legitimum Imperatorem defendunt, iis se quoque auxilium præbere.

7. Mortuo Arcadio Theodosius ejus filius, admodum puer, Orientalis imperii successor declaratur, degebat cum eo in Palatio Pulcheria ejus soror, Imperiales subscriptiones administrans ac dirigens.

8. Cùm Theodosius adolescentiæ annos jam ingressus esset, die XIX. mensis Julii, circa octavam diei horam Sol tantopere defecit, ut stellæ quoq; visæ fuerint; tantaque siccitas hunc Solis

C defectum secuta est, ut multorum hominum ac brutorum animalium insueta mortalitas ubique terrarum grassata sit. Porro eò ipso tempore quo Sol defecit, fulgor quidam in cœlo apparuit, coni similitudinem referens, quem nonnulli præ imperitia cometam vocarunt. In iis enim quæ fulgor ille nobis ostendit, nihil erat simile cometæ. Nam neque in comam desinebat lux illa, neque ullam omnino stellæ speciem præferebat. Sed velut lampadis cujusdam ingens flamma per se ipsam subsistens videbatur, nullâ subtus stellâ ellychnii

D speciem præferente. Sed & motus ejus longe diversus fuit à motu cometarum. Mota enim primum ab ortu solis æquinoctiali, inde ultimam stellam in cauda Ursæ sitam trangressa, paulatim ad occasum processit. Postquam verò universum cœlum permensa est, tandem disparuit, cùm cursus ejus plus quam quatuor menses durasset. Porro ejus vertex, nunc quidem in magnam longitudinem acuebatur; adeo ut coni modum ac mensuram excederet, nunc verò ad coni mensuram redibat. Alias præterea prodigiosas species oculis subjecit, quæ à vulgarium signorũ na-

tura illam differre ostendebant. Cœpit autem à media æstate, & ad exitum ferme autumni perseveravit. Fuitque signum gravium bellorum & mortalitatis hominum incredibilis. Insequenti anno terræmotus cœpere, qui cum superioribus haud facile conferri possint. Simul autem cum terræmotibus ignis quoque è cœlo demissus, omnem salutis spem præclusit: nullam tamen hominibus cladem intulit. Divina enim benignitas, immisso vehementi vento cùm ignem undique fugasset, in mare tandem projecit. Et videre erat novum quoddam spectaculum, maris videlicet fluctus quasi saltus quosdam ac silvas, diuturno tempore conflagrare, donec flamma penitus in mari exstincta esset.

9. Porrò multis in locis cùm terra movisset, visa sunt ædium culmina magno cum fragore ac sonitu disrumpi, adeò ut ii qui intra domos erant, cœlum ipsum oculis suis cernerent. Post hujusmodi autem divulsionem ita rursus juncta & compaginata sunt, ut nullum ejus rei quæ acciderat, indicium relinqueretur. Idem quoque pavimentis ædium accidit diversis in locis. Nam & horrea eos qui sub ipsis habitabant, oppresserunt, frumenti acervum ipsis superfundentia per subitos hiatus, ac rursus solum ita coaluit, ut cuncti ambigerent, undenam frumentum illud lethale defluxisset. Alii præterea hujusmodi casus novi atque insueti eo tempore contigerunt, qui quidem manifestissimè ostendebant, non naturali modo atque ordine ista evenire, ut Gentiles falsò opinantur; sed divinæ indignationis flagella in homines immissa esse.

10. Idem Philostorgius variis argumentis ostendere conatur, terræmotus neque ex inundatione aquarum fieri, neque ventorum vi intra sinus terræ inclusorum: Nec rursus ex aliqua terræ inclinatione, sed sola Dei voluntate accidere ad conversionem & emendationem peccatorum. Atque ista se constanter asseverare, propterea quod neutrum ex supradictis elementis ejusmodi casus vi naturali perficere potest. Quod si Deus ita voluerit, vel minima gutta è cœlo delapsa, vel nix levissima, Olympum Macedoniæ aut alium quempiam ex altissimis montibus, facillime movere possit: Quandoquidem videmus Deum sæpenumero his

A συνήθων φασμάτων ἐξηλλαγμένον φύσεως. ἤρξατο δὲ ἀπὸ μέσου θέρους σχεδόν τι μέχρι τῆς μετοπώρου τελευτῆς. γέγονε δὲ ἄρα καὶ τοῦτο σημεῖον πολέμων μεγάλων, καὶ φθορᾶς ἀνθρώπων οὐ ῥητῆς. τῷ δὲ ἑξῆς ἔτει ἤρξαντο σεισμοὶ μείζους ὄντες τοῖς προλαβοῦσι παραβαλεῖν. τοῖς δὲ σεισμοῖς καὶ πῦρ οὐρανόθεν συγκαταρρηγνύμενον, πᾶσαν ἐλπίδα σωτηρίας περιέκοπτε. πλήν γε φθορὰν ἀνθρώπων οὐκ ἐνεργάσατο. ἀλλ' ἡ θεία εὐμένεια πνεῦμα σφοδρὸν καθεῖσα, καὶ τὸ πῦρ πανταχόθεν περιελάσασα, κατὰ τῆς θαλάσσης ἀπέρριψε. καὶ ἦν ἰδεῖν ξένην θέαν, τῶν κυμά-
B των ἐπὶ πλεῖστον ὥσπερ τινῶν λασίων χωρίων τῷ πυρὶ καταφλεγομένων. ἄχρι τελείως τὸ φλέγον ἐναπεσβέσθη τῷ πελάγει.

9. Ὅτι κατὰ πολλοὺς τόπους τῶν σεισμῶν γινομένων, ὤφθησαν ὀροφαὶ οἰκιῶν ἀπ' ἀλλήλων μετὰ μεγάλων παταγῶν καὶ ἀρραγμῶν διαστᾶσαι, ὡς καὶ τοὺς ἔνδον περιτυχόντας καθαρῶς τὴν ὄψιν τὸν οὐρανὸν ὑποβάλλειν. καὶ μετὰ τὴν τοσαύτην διάστασιν, οὕτω πάλιν ἁρμοσθεῖσαί τε καὶ συναφθεῖσαι, ὡς μηδεμίαν αἴσθησιν τοῦ κακωθέντος μηδενὶ παρασχεῖν. τὸ αὐτὸ δὲ τοῦτο πάθος, καὶ περὶ τὰ ἐδάφη πολλαχοῦ συνηνέχθη.
C καὶ γὰρ σιτοβόλων τοὺς κάτωθεν οἰκοῦντας ἀπέπνιξαν, τὸν σῖτον αὐτοῖς ἀθρόον ἐπιχεάμενοι διὰ τῶν πάλων καὶ πάλιν οὕτω παρέχοντο τὸ ἔδαφος ἡρμοσμένον, ὡς ἐξαπορεῖν ἅπαντας πόθεν ὁ φονεὺς ἀπερρύη σῖτος. καὶ ἄλλα δὲ ξενότροπα πάθη τηνικαῦτα ἐνεωχμώθη, δεικνύντα μὴ φυσικῇ τινι ταῦτα προελθεῖν ἀκολουθίᾳ, ὡς Ἑλλήνων παῖδες ληροῦσιν, ἀλλὰ θείας ἀγανακτήσεως μάστιγας ἐπαφεθῆναι.

10. Ὅτι διαφόροις ἐπιχειρήμασι κατασκευάζειν πειρᾶται, τοὺς σεισμοὺς μήτε διὰ πλημ-
D μύραν ὑδάτων συνίστασθαι, μήτε πνευμάτων ἐναπολαμβανομένων τοῖς κόλποις τῆς γῆς, ἀλλὰ μηδὲ γῆς τινος ὅλως παρεγκλίσει, μόνῃ δὲ τῇ θείᾳ γνώμῃ, πρὸς ἐπιστροφὴν καὶ διόρθωσιν τῶν ἁμαρτανομένων. καὶ ταῦτα φησὶν ἰσχυριζόμενον λέγειν, διότι τὰ τηλικαῦτα πάθη μὴ δύναται μηδέτερον τῶν εἰρημένων στοιχείων κατὰ φυσικὴν ἀποτελεῖν δύναμιν· ἐπεὶ θεοῦ γε βουληθέντος, καὶ ψεκὰς ἡ σμικροτάτη προσπεσοῦσα καὶ νιφὰς ἡ κουφοτάτη, τὸν ὄλυμπον τῆς μακεδονίας, ἤ τι ἄλλο τῶν μεγίστων ὀρῶν κινήσειεν ἂν ῥᾳδίως. ἐπεὶ καὶ φαίνεται πολλάκις τὸ

θεῖον

θεῖον ἐπὶ παιδείᾳ τῶν ἀνθρώπων, τούτοις χρώμενον. τήν τε γὰρ ἐρυθρὰν θάλασσαν, ῥᾷον ὂν ἀθρόον διαστῆσαι, νότῳ βιαίῳ πρότερον μαστιγώσας καὶ συνωθήσας, οὕτω διέστησεν, τῇ τοῦ νότου φύσει μηδεμιᾶς δυνάμεως τοιαύτης ἐγκαθιδρυμένης, ἀλλὰ τῆς ἄνωθεν ῥοπῆς ὑπὲρ φύσιν αὐτῷ χρησαμένης πρὸς τὸ οἰκεῖον βούλημα· καὶ ῥάβδος δὲ πηγὰς ἐκ πέτρας ναμάτων πληθούσας προχεῖ. καὶ ἰορδάνου ῥεῖθρα καθαίρουσι λέπραν, οὐ τῆς φύσεως αὐτῶν ταῦτα δρᾶν ἐνδυναμούσης, τοῦ δὲ πλάστου μεταπλάττειν ἕκαστον τῶν δημιουργημάτων πρὸς ἣν ἂν ἐθέλοι χρείαν, πολλὴν καὶ ἀκώλυτον ἔχοντος τὴν ἐξουσίαν.

11. Ὅτι μετὰ θάνατον εὐδοξίου, ὃς τῆς ἐν κωνσταντινουπόλει εὐνομιανῆς συναγωγῆς ὑπῆρχε, λουκιανὸς ἀντικαθίσταται, παῖς ὢν ἀδελφῆς εὐνομίου. τοῦτον δή φασιν εἰς φιλαργυρίαν τε καὶ τὰ συγγενῆ καταλισθήσαντα πάθη, καὶ τὴν ἐπ' αὐτοῖς ὑφορώμενον δίκην, ἀποσχίσαι μὲν τῆς ἄλλης εὐνομιανῶν μοίρας. ἰδίας δὲ συμμορίας ἀρχηγὸν ἑαυτὸν ἀναδεῖξαι, καὶ συντάγματος οὐκ εὐκαταφρονήτου ἄρξαι· πάντων τῶν ἐπιρρήτων τε καὶ ποικίλοις πάθεσι καθωπλισμένων πρὸς αὐτὸν ἀπερρυηκότων.

12. Ὅτι ὁνώριος ὁ βασιλεὺς κωνστάντιον τὸν στρατηγὸν κατὰ τιμὴν τοῦ κήδους εἰς τὸ τῆς βασιλείας προσλαμβάνεται σκῆπτρον. ἤδη καὶ παῖδα οὐαλεντινιανὸν τῆς πλακιδίας αὐτῷ γειναμένης, ᾧ καὶ τὴν τοῦ ἐπιφανεστάτου περιῆψεν ὁ ὁνώριος ἀξίαν. αἱ δὲ τοῦ κωνσταντίου εἰκόνες, ὡς ἔθος ἦν τοῖς ἄρτι παρελθοῦσιν εἰς βασιλείαν πράττειν, ἀναπέμπονται πρὸς τὴν ἕω. ἀλλ' ὅ γε θεοδόσιος οὐκ ἀρεσκόμενος τῇ ἀναρρήσει, οὐ προσίετο ταύτας· καὶ δὴ κωνσταντίῳ παρασκευαζομένῳ διὰ τὴν ὕβριν ἐπὶ πόλεμον, καὶ τῆς ζωῆς καὶ τῶν φροντίδων ἐπιστὰς ὁ θάνατος τὴν ἀπαλλαγὴν παρέχει, βασιλεύσαντι μῆνας ἕξ.

13. Ὅτι ἐν ὑπατείᾳ τοῦ βασιλέως θεοδοσίου τὸ δέκατον, καὶ ὁνωρίου τὸ τρισκαιδέκατον, αὐτὸς ὁνώριος ὑδέρῳ τελευτᾷ. καὶ ἰωάννης τυραννίδι ἐπιθέμενος, διαπρεσβεύεται πρὸς θεοδόσιον. ἀπράκτου δὲ τῆς πρεσβείας γεγενημένης, καὶ τῶν πρέσβεων ὑβρισθέντων, ἄλλος ἀλλαχῇ κατὰ τὴν προποντίδα φυγῇ προετιμήθησαν. τὴν μέντοι πλακιδίαν καὶ τὸν τρίτον οὐαλεντινιανόν. μετὰ γὰρ κωνσταντίου θάνατον, πρὸς τὸ βυζάντιον ἀνεκομίσθησαν. ἀποστέλλει πρὸς θεσσαλονί-

A rebus usum esse ad emendationem generis humani. Nam & rubrum mare cùm facile posset subitò disscindere, Austro violento prius illud verberans atq; impellens, ita demum divisit: non quòd ulla hujusmodi virtus in Austro insita sit à natura: sed quod divina vis ad voluntatem suam exequendam eo usa fuerit. Sed & virga percutiens, fontes aquarum elicuit ex petra. Et Jordanis fluenta lepram sanarunt: Non quod eorum natura ista operari valeat, sed quia Creator singulas creaturas ad eum quem voluerit usum transmutandi, plenam atque omnimodam habet potestatem.

11. Post mortem Eudoxii qui Con-
B stantinopoli Eunomianorum sectæ præfuerat, Lucianus sororis Eunomii filius in ejus locum substituitur. Hunc porrò ajunt, cùm in avaritiam & cognata vitia prolapsus esset, pœnamq; ob id metueret, à reliquorum quidem Eunomianorum sectâ sese abrupisse: proprię verò factionis principem extitisse, nec contemnendæ multitudini præfuisse, cùm improbi omnes & diversis vitiis implicati ad eum confluxissent.

12. Honorius Imperator Constantium Magistrum militum ob affinitatis honorem ad consortium Imperii adscivit, cùm Placidia Valentinianum ei
C filium jam peperisset. Cui quidem Valentiniano Honorius Nobilissimi dignitatem tribuit. Constantii igitur imagines, ut moris erat eorum qui recens ad imperium promoti erant, missæ sunt in Orientem. Sed Theodosius, cùm nuncupationem augustam Constantii improbaret, imagines ejus non admisit. Cumq; Constantius ob hanc contumeliam sese ad bellum pararet, mors superveniens, vitâ simul & curis eum liberavit, cùm imperasset mensibus sex.

13. Consulatu Imperatoris Theodo-
D sii decimo & Honorii tertiodecimo, idem Honorius aquæ intercutis morbo interiit. Joannes verò cùm tyrannidem arripuisset, Legationem misit ad Theodosium. Sed re infecta, Legati insuper contumelia affecti, alius aliò per Propontidem relegati sunt. Placidiam verò & Valentinianum Tertium, qui post obitum Honorii Byzantium profugerant, Theodosius Thessalonicam misit. Illic patrueli suo Cæsaris dignitatem concessit, & Ardaburio Magistro militum ejusq; filio Aspari, belli



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

adversus Tyrannum administrationem A commisit. Hi Placidiam & Valentinianum secum ducentes, cùm Pannoniam & Illyricum pertransissent Salonas urbem Dalmatiæ vi ceperunt. Post hæc Ardaburius quidem cum navalibus copiis contra tyrannum profectus est. Aspar verò assumptis secum equestribus copiis, & impressionis inopinæ celeritate suspicionem præveniens, Aquileiam urbem maximam occupavit, Placidia & Valentiniano ipsum comitantibus. Et hic quidem maximam civitatem absque ullo negotio cepit. Ardaburium verò violentus quidam ventus excipiens, unà cum duabus triremibus in manus tyranni detulit. Ille de fœdere ineundo cogitans, Ardaburium humaniter excepit. Qui cùm maxima libertate frueretur, ductores tyranni qui jam ad defectionem propensi erant, contra tyrannum animavit. Simul Aspari filio per litteras significavit, ut tanquam ad paratam victoriam adesset. Qui cùm celeriter adventasset unà cum equestribus copiis, conserto levi prælio captus est Joannes, proditione eorum qui circa ipsum erant, & Aquileiam ad Placidiam & Valentinianum deducitur. Illic dextra manu prius amputata, postea etiam capite truncatus est, cùm per unum ac dimidium annum tyrannidem exercuisset. Tum verò Theodosius Valentinianum Romam missum, Imperatorem renuntiavit.

14. Aetius unus ex ducibus Joannis tyranni, tertio post ejus obitum die supervenit, Barbaros adducens mercede conductos, ad sexaginta fere hominum millia. Commissoque inter ipsum & Asparis exercitum prælio, multi ex utraque parte ceciderunt. Posthæc Aetius fœdus iniit cum Placidia & Valentiniano, & Comitis dignitatem accepit. Barbari verò auro accepto, iram atque arma deposuerunt, & obsidibus datis fideque vicissim acceptâ in proprias sedes reversi sunt.

*Finis Excerptorum Ecclesiasticæ historiæ Philostorgii.*

A κῃ Θεοδόσιος. κἀκεῖ τὴν τοῦ καίσαρος ἀξίαν τῷ ἀνεψιῷ περιτίθησιν, ἀρδαβουρίῳ τῷ στρατηγῷ, καὶ τῷ τούτου υἱῷ ἄσπαρι τὴν κατὰ τοῦ τυράννου στρατηγίαν ἐγχειρίσας· οἳ δὴ καὶ συνεπαγόμενοι πλακιδίαν τε καὶ οὐαλεντινιανὸν, ἐπεὶ τοὺς παίονας καὶ τοὺς ἰλλυριοὺς διελάσαντες, τὰς σαλώνας πόλιν τῆς δαλματίας ἀναιροῦσι κατὰ κράτος. ἐντεῦθεν ὁ μὲν ἀρδαβούριος ναυτικῷ στόλῳ κατὰ τοῦ τυράννου χωρεῖ. ὁ δὲ ἄσπαρ τὴν ἱππικὴν δύναμιν συναναλαβὼν, καὶ τῷ τάχει τῆς B ἐφόδου κλέψας τὰς αἰσθήσεις, τῆς ἀκυληίας μεγάλης πόλεως ἐγκρατὴς γίνεται, συνόντων αὐτῷ οὐαλεντινιανοῦ καὶ πλακιδίας· ἀλλ' ὁ μὲν οὕτω τὴν μεγάλην ἀταλαιπώρως παρεστήσατο. τὸν δὲ ἀρδαβούριον βίαιον ἀπολαβὸν πνεῦμα, σὺν δυσὶν ἑτέραις τριήρεσιν εἰς χεῖρας ἄγει τοῦ τυράννου· ὁ δὲ πρὸς σπονδὰς ἀφορῶν, φιλανθρώπως ἐκέχρητο τῷ ἀρδαβουρίῳ. καὶ πολλῆς οὕτως ἀπολαύων τῆς ἀδείας, τοὺς ὑποστρατηγοὺς τοῦ τυράννου, ἤδη καὶ αὐτοὺς ὑποκεκινημένους, τὴν ἐπιβουλὴν κρατύνει τὴν κατὰ τοῦ τυράννου. καὶ σημαίνει ἄσπαρι τῷ παιδὶ παραγενέσθαι, ὡς ἐφ' ἑτοίμῳ τῷ κατορθώματι. τοῦ δὲ C θᾶττον σὺν τῷ ἱπποτῇ στρατῷ παραγεγονότος, καὶ μάχης τινὸς συρραγείσης, συλλαμβάνεται ὁ ἰωάννης τοῦ τῶν ἀμφ' αὐτὸν προδοσίᾳ, καὶ πρὸς πλακιδίαν καὶ οὐαλεντινιανὸν εἰς ἀκυληίαν ἐκπέμπεται· κἀκεῖ τὴν δεξιὰν προδιατμηθεὶς, εἶτα καὶ τῆς κεφαλῆς ἀποτέμνεται, ἕνα τυραννήσας ἐπὶ τῷ ἡμίσει ἐνιαυτόν. τότε καὶ βασιλέα ὁ θεοδόσιος τὸν οὐαλεντινιανὸν ἀποστείλας ἀναγορεύει.

14. Ὅτι ἀέτιος ὁ ὑποστρατηγὸς ἰωάννου τοῦ τυράννου, μετὰ τρεῖς ἡμέρας τῆς ἐκείνου τελευτῆς, βαρβάρους ἄγων μισθωτοὺς εἰς ξʹ χιλιάδας D παραγίνεται· καὶ συμπλοκῆς αὐτοῦ τε καὶ τῶν περὶ τὸν ἄσπαρα γεγενημένης, φόνος ἑκατέρωθεν ἐρρύη πολύς. ἔπειτα σπονδὰς ὁ ἀέτιος τίθεται πρὸς πλακιδίαν καὶ οὐαλεντινιανὸν, καὶ τὴν τοῦ κόμητος ἀξίαν λαμβάνει. καὶ οἱ βάρβαροι χρυσίῳ καταθέμενοι τὴν ὀργὴν καὶ τὰ ὅπλα, ὁμήρους τε δόντες, καὶ τὰ πιστὰ λαβόντες, εἰς τὰ οἰκεῖα ἤδη ἀπεχώρησαν.

Τέλος τῶν ἐκλογῶν ἐκ τοῦ παρόντος βιβλίου τῆς ἐκκλησιαστικῆς ἱστορίας φιλοστοργίου.